## XIII [103B., 107D.]

*σάν τε χάριν, Διόνυσε, καὶ ἀγλαὸν ἄστεϊ κόσμον*
*Θεσσαλίας μ' ἀνέθηκ' ἀρχὸς Ἐχεκρατίδας.*

## XIV [111B., 106D.]

*εὔχεο Τιμώνακτι θεῶν κήρυκα γενέσθαι*
*ἤπιον, ὅς μ' ἐρατοῖς ἀγλαΐην προθύροις*
*Ἑρμῆι τε κρείοντι καθέσσατο· τὸν δ' ἐθέλοντα*
*ἀστῶν καὶ ξείνων γυμνασίῳ δέχομαι.*

## XV [Simon. 150B., 101D.]

*Στροίβου παῖ, τόδ' ἄγαλμα, Λεώκρατες, εὖτ' ἀνέθηκας*
*Ἑρμῇ, καλλικόμους οὐκ ἔλαθες Χάριτας.*

*οὐδ' Ἀκαδήμειαν πολυγαθέα, τῆς ἐν ἀγοστῷ*
*σὴν εὐεργεσίην τῷ προσιόντι λέγω.*